Η'.

Κῶδιξ 3085, φ. 39. (*) Ἐξήγησις διὰ στίχων πολιτικῶν, εἴς τινα δημώδη αἰνίγματα. Τινὲς μὲν λέγουσι τοῦ Ψελλοῦ, τινὲς δὲ τοῦ Πτωχοπροδρόμου, ὃ καὶ πέπεισμαι.

1. Ἔνι καὶ κλέπτης καὶ σκληρός.

Λύσις. Κλέπτης ὁμοῦ καὶ ἰσχυρός, λέγει δημώδης λόγος·
ξένον τὸ πρᾶγμα μοὶ δοκεῖ, ξένος ὁ λόγος οὗτος·
εὐθὺς γὰρ ἀπορήσει τις, πῶς ἐνταυθοῖ τὰ δύο,
πῶς ἰσχυρὸς ὁ εἷς ἐστι, πῶς ὁ αὐτὸς καὶ κλέπτης,
5 καὶ πῶς θρασὺς ὁ τὴν αἰδῶ προβεβλημένην ἔχων,

(*) Ἀντεγράφη ἐκ τοῦ ὑπ' ἀριθμὸν 3085 ἑλληνικοῦ κώδικος τῆς ἐν Παρισίοις ἐθνικῆς βιβλιοθήκης, περιέχοντος τὴν Ἰωνιὰν Ἀρσενίου Ἀποστολίου, ἰδίᾳ τούτου χειρὶ γεγραμμένην. Κατ' ἐμὲ οὐδέτερος τῶν ἐν κεφαλίδι σημειουμένων ἐστὶν ὁ ἀληθὴς συγγραφεὺς τῶν στιχηρῶν τούτων ἑρμηνειῶν, ἀλλὰ μᾶλλον ὁ ἐπὶ Μανουὴλ Κομνηνοῦ ἀκμάσας Ἰωάννης Γλυκᾶς ὁ γραμματικός· τοῦτο δὲ συμπεραίνω ἔκτε ἄλλου ἀρχαιοτέρου κώδικος τῆς αὐτῆς βιβλιοθήκης (ἀριθ. 228, φύλ. 21-25) περιέχοντος πρὸς ταῖς ἑρμηνείαις ταύταις καὶ ἄλλα τε δημώδη ποιημάτια καὶ ἐπιστολὰς τοῦ αὐτοῦ Γλυκᾶ, πρὸ πάντων δ' ἐκ τῶν ἐν τοῖς στιχοῖς 335-378 τῆς παρούσης ἐκδόσεως ἐκτραγῳδουμένων τοῦ ποιητοῦ παθημάτων, περὶ ὧν ἐν ἐκτάσει πραγματεύονται δύο τῶν ἀνεκδότων αὐτοῦ ἐν δημώδει διαλέκτῳ ποιηματίων, πρὸς τὸν αὐτὸν αὐτοκράτορα ἀποτεινόμενα. Αἱ ὑπὸ τὸ νῦν ἐκδιδόμενον κείμενον ὑποσημειούμεναι διαφοραὶ γραφῆς ἐλήφθησαν ἐκ τοῦ δευτέρου τούτου κώδικος· σημειωτέον δέ, ὅτι ἐν τῷ δευτέρῳ τούτῳ χειρογράφῳ λείπουσιν οἱ στίχοι 11, 23, 27, 38, 39, 60, 61, 145, 146, 147.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ